περ Πυῤῥίας καὶ Σμικείνης. ὁ δὲ Ιξίων, ἐπί τινος τῶν καθημένων, ξανθὸν τὸ χρῶμα ἔχοντος. ἐν ἔθει γὰρ ἦν, διασκώπτειν τοὺς ἀκροωμένους. ὡς καὶ Πλάτων ἐν παιδαρίῳ ποιεῖ. Εὔπολις δὲ, τὸν τοῦ Διονύσου ἱερέα, νομίζεσθαι αἰγίπυρον εἶναι, ἀντὶ τοῦ πυῤῥόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτειος, ἱκανῶς ἐρυθρόν. Αὐλεῖ τις ἔνδον.] παρεπιγραφή. σημειοῦται γὰρ ὅτι ἔνδοθέν τις ηὔλησε μὴ ὁρώμενος τοῖς θεαταῖς. Αὔρα τίς.] μακροκαταληκτεῖ. τὰ γὰρ εἰς

A ρα εἰ μὲν μονοφθόγγῳ παραλήγει μακροκαταληκτεῖ. πήρα. εἰ δὲ διφθόγγῳ, βραχυκαταληκτεῖ. πλὴν τοῦ, αὔρα καὶ Φαίδρα παρ' Εὐριπίδῃ. φαίδρα τὸ γὰρ τὸ δὴ οὐ προτιμήσω καλόν. ἀποροῦσι τινὲς ἐνταῦθα πῶς οὐ θέρμη δᾴδων εἶπεν. ἀλλὰ αὔρα. καὶ φαμὲν ὅτι τοῦτο λέγει δεικνὺς ὅτι καὶ δᾷδας οἱ μύσται ἔφερον, καὶ θεία πνοή τις ἐξ αὐτῶν ἐφέρετο. Μυστικωτάτη.] τῶν ἐν Ελευσῖνι μυστηρίων. τινὲς δὲ, εἰς τὸ μυστικωτάτην δύο ποιοῦσιν.

B

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ
### Σκηνὴ ἑβδόμη.

### ΧΟΡΟΣ ΜΥΣΤΩΝ, ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

Bisetus. Ὁ τῶν Μυστῶν χορὸς αὐλοῖς, καὶ λαμπραῖς φωναῖς τὸν Βάκχον ὑμνεῖ, καὶ αὐτοῦ τὰ ὄργια τελεῖ.

Ιακχ' ὦ Ἴακχε.
Ιακχ' ὦ Ἴακχε.
Ξα. Τοῦτ' ἔστ' ἐκεῖνο δέσποθ', οἱ μεμυημένοι
Ενταῦθά που παίζουσιν οὓς ἔφραζε νῷν.
Αδουσιν οὖν τὸν Ιακχον, ὅνπερ Διαγόρας.
Δι. Κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν γ' ἄγειν,
Βέλτιστόν ἐστιν ὡς ἂν εἰδῶμεν σαφῶς.
Χο. Ιακχ' ὦ πολυτιμήτοις
Ἕδραις ἐνθάδε ναίων,
Ιακχ' ὦ Ἴακχε,
Ελθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων,
Οσίους ἐς θιασώτας,
Πολύκαρπον μὲν τινάσσων
Αμφὶ κρατὶ σῷ βρύοντα
Στέφανον μύρτων.
Θρασεῖ δ' ἐγκατακρούων
Ποδὶ τὰν ἀκόλαστον
Φιλοπαίγμονα τιμὰν,
Χαρίτων πλεῖστον ἔχουσαν
Μέρος, ἁγνὴν, ἱερὰν,
Οσίοις μύσταις χορείαν.

## ACTVS I. SCENA VII.

### CHORVS, XANTHIAS, BACCHVS.

*Iacche, ô Iacche:*
C *Iacche, ô Iacche.*
XA. *Hoc illud est here: hîc initiati sacris,*
*De quibus agebat Hercules, ludos agunt.*
*Nam Iacchum cantu celebrant, more Diagora.*
BA. *Et mihi videntur. Optimum est, adesse cum*
*Silentio, vt cognoscam quid sit rei.*
CH. *Iacche, ô pretiosas qui*
*Sedes hîc habitas ô*
D *Iacche, ô Iacche.*
*Huc ades, nemore hoc, ritè futurus*
*Thyasi dux venerandi:*
*Qua te florentem corollam,*
*Fronte qua tua nitescit,*
*Folijs myrti:*
*Leui poplite salta*
*Hilarem, petulantem,*
E *Lepidam, iocularem,*
*Charitum flore refertam,*
*Facilem, sacrificam,*
*Paribus mystis choream.*

Σχόλια. Ιακχ' ὦ ἴακχε.] ἡ πάροδος τῆς ᾠδῆς ταύτης τοῦ τῶν μυστῶν χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταλήκτων. ἑξῆς δὲ τούτων σύστημα ἀμοιβαῖον ἐκ στίχων ἰάμβων τριμέτρων ἀκαταλήκτων πέντε.

Bisetus. Ἴακχε] Εὐστάθιος. Ἴακχος ὁ ἐπὶ τῷ Διονύσῳ ἦχος, παρὰ τὸ ἰάχειν. καὶ Ἴακχος, αὐτὸς ὁ Διόνυσος ὁμωνύμως.

Σχόλια. Ονπερ Διαγόρας.] Διαγόρας μελῶν ποιητὴς ἄθεος, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν Αρίσταρχος, Διαγόρου νῦν μνημονεύειν φησὶ τοὺς θεοὺς, οὐχ ὡς ᾄδοντος αὐτοῦ. ἀλλ' ἐν εἰρωνείᾳ κειμένου τοῦ λόγου. ἀντὶ τοῦ χλευάζοντος ἐξορχουμένου. ἀνακινεῖ οὖν τοὺς Αθηναίους ὁ κωμικὸς, ὅθεν καὶ Αθηναῖοι ὡς χλευάζοντος τοὺς θεοὺς κατεψηφισμένοι ἀνεκήρυξαν τῷ μὲν ἀναιρήσαντι, ἀργυρίου τάλαντον, τῷ δὲ ζῶντα κομίσαντι, δύο. ἔπειθον δὲ καὶ τοὺς ἄλλους Πελοποννησίους, ὡς ἱστορεῖ καρτερὸς ἐν τῇ συναγωγῇ τῶν ψηφισμάτων. ἦν δὲ ἐπὶ Τηλεκλύτου παῖς. Μήλιος τὸ γένος. τὸν χρόνον κατὰ Σιμωνίδην καὶ Πίνδαρον. οἱ δὲ τὸ δι' ἀγορᾶς περιπατῶσιν, ὡς Απολλόδωρος ὁ Ταρσεὺς καὶ Φερεκράτης. ἄλλως. διθυραμβοποιὸς ὁ Διαγόρας ποιητὴς συνεχῶς Ιακχε Ιακχε ᾄδων. ἡ κωμικὸς διθυραμβικὰ τουτέστι Διονυσιακὰ δράματα ποιῶν. Ιακχ' ὦ πολυτιμήτοις.] ᾠδὴ καὶ στροφὴ κώλων τεσσαρεσκαίδεκα. ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. ὃ καλεῖται
F γλυκώνειον. τὸ δεύτερον δίμετρον καταληκτικὸν ἢ ἐξ ἀντισπάστου καὶ βακχείου. τὸ τρίτον ὅμοιον ὁποτέρῳ οὖν τῶν ἐν τῇ παρόδῳ. τὸ τέταρτον ἐκ διτροχαίου ἀντισπαστικοῦ καὶ βακχείου Αλκαϊκόν φασι καλούμενον. τὸ πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀνακλώμενον καθ' Ηφαιστίωνα καλούμενον ἀντ' ἰωνικῶν παίωνα τρίτον καὶ ἐπίτριτον δεύτερον ἔχον. τὰ ἑξῆς δύο τὸν αὐτὸν τρόπον. τὸ ὄγδοον ἰωνικὸν ἀπ' ἐλάττονος πενθημιμερές. τὸ ἔνατον ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον ἢ ἑφθημιμερές. τὰ ἑξῆς δύο
G ἰωνικὰ ἐκ παιώνων τρίτων καταληκτικὰ ἢ ἐκ παίωνος καὶ εἰς ὃν συναιρεῖται βακχείου. τὸ δωδέκατον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καθαρόν. τὸ τρισκαιδέκατον καθαρὸν μὲν, καταληκτικὸν δέ. τὸ τελευταῖον ὡς τὸ δωδέκατον, ἐπιμεμιγμένον μέν τοι ἐπιτρίτῳ δευτέρῳ ἢ διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τριστοιχία ἰαμβικὴ παραγράφῳ τερματιζομένη. μεθ' ἣν ἀντῳδὴ καὶ ἀντιστροφὴ παραπλησίως καθ' ἑκα-